www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias B

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Τηλέμαχος δ' ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
ἔνθ' ἔβη εἰς εὐνὴν πολλὰ φρεσὶ μερμηρίζων,
τῷ δ' ἄρ' ἅμ' αἰθομένας δαΐδας φέρε κέδν' εἰδυῖα
Εὐρύκλει' Ὦπος θυγάτηρ Πεισηνορίδαο.
Τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν
πρωθήβην ἔτ' ἐοῦσαν, ἐεικοσίβοια δ' ἔδωκεν,
ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν,
εὐνῇ δ' οὔποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός,
ἥ οἱ ἅμ' αἰθομένας δαΐδας φέρε, καί ἑ μάλιστα
δμῳάων φιλέεσκε, καὶ ἔτρεφε τυτθὸν ἐόντα,
ὤϊξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο.
ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα.
καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν,
ἡ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα,
πασσάλῳ ἐγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι,
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, θύρην δ' ἐπέρυσε κορώνῃ
ἀργυρέῃ, ἐπὶ δὲ κληῗδ' ἐτάνυσσεν ἱμάντι,
ἔνθ' ὅγε παννύχιος κεκαλυμμένος οἰὸς ἀώτῳ,
βούλευε φρεσὶν ᾗσιν ὁδὸν, τὴν πέφραδ' Ἀθήνη.

θάλαμος.] ὁ κοιτών. κακεῖ ὄντες κατακεκοιμηθησόμενοι. δέδμητο.] ᾠκοδόμητο. περισκέπτῳ.] ὑψηλῷ, ὅθεν ἔστι περισκέψασθαι. ἢ πάντοθεν ὁρωμένῳ περιορατῷ. χώρῳ.] τόπῳ. μερμηρίζων.] διανοούμενος. μεριμνῶν. εἰς πολλὰ μέρη διαιρῶν τὴν ψυχήν. αἰθομένας.] καιομένας. λαμπούσας. δαΐδας.] δᾷδας. λαμπάδας. κεδνά.] συνετὰ προσφιλῆ. εἰδυῖα.] ἐπισταμένη. τίεν.] ἐτίμα. Ὦπος. περισπαστέον διὰ τὴν ἀντέκφρασιν πρὸς τὸν ὀφθαλμόν.

Ὦπος θυγάτηρ.] Εὐρύκλεια. πρίατο.] ἠγόρασεν. πρωθήβην.] πρώτην ἀκμὴν ἡλικίας ἔχουσαν. ἐεικοσίβοια.] εἴκοσι βοῶν ἄξια. ἶσα.] ἐπίσης. ὁμοίως. κεδνῇ.] τιμίᾳ. ἔμικτο.] ἐμίγη. ἀλέεινε.] ἐφυλάσσετο. φιλέεσκεν.] ἐφίλει. ὤϊξεν.] ἀνέῳξεν. λέκτρῳ.] κοίτῃ. πύκα ποιητοῖο.] καλῶς κατεσκευασμένου. ἔκδυνε.] ἐξεδύσατο. πυκιμηδέος.] συνετῆς. πτύξασα καὶ ἀσκήσασα.] μετ' ἐπιμελείας διπλώσασα. τρητοῖσι.] τορνευτικοῖς ἱμαντοδέτοις. ἐπέρυσε.] ἐφελκύσατο. ἐπεσπάσατο. κορώνῃ.] τῷ λεγομένῳ κόρακι. ἐπὶ δὲ κληῗδ' ἐτάνυσεν ἱμάντι.] τὸ λεγόμενον ἐφ' ἡμῶν κλεῖθρον. δύο δὲ τοῦτο εἶχεν ἱμάντας ἐξηρτημένους διατείνων τρήσεων, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν, εἰς τὸ δύνασθαι ἀνοῖξαι καὶ κλεῖσαι. νῦν οὖν τὸ κλεῖθρον παρέτεινε καὶ παρήγαγε τῷ ἱμάντι. κορώνῃ.] τῷ ἐπισπαστῷ τῆς θύρας. οἰὸς ἀώτῳ.] τῷ ἄνθει καὶ τῷ καλλίστῳ τοῦ προβάτου. λέγει δὲ τὸ ἐξ ἁπαλῶν ἐρίων γεγονότων περιβόλαιον. βούλευε.] ἐβουλεύετο. πέφραδε.] εἶπεν, ἐσήμανεν.

ΟΔΥΣΣΕΙΑΣ

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β ΤΟΥ
## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Συναγαγὼν ἐκκλησίαν Τηλέμαχος, παραγγέλλει τοῖς μνηστῆρσιν ἐξιέναι τῆς οἰκίας τοῦ Ὀδυσσέως, καὶ λαβὼν παρὰ μὲν Εὐρυκλείας τὰ πρὸς τὴν ἀποδημίαν ἐπιτήδεια, παρὰ δὲ τῆς Ἀθηνᾶς ἑταίρους τε καὶ ναῦν εἰς πλοῦν ἀνάγεται ἡλίου δύνατος.

ΣΚΟΛΙΑ

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Β ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Ἦμος.] ἡνίκα, ὅτε. ἠριγένεια.] τὸν ὄρθρον γεννῶσα. τουτέστι τὴν πρωΐαν, ἡ ἐν τῷ ἦρι γενομένη. ὅ ἐστιν ὄρθρος. ῥοδοδάκτυλος δὲ ἀπὸ τῆς πρωϊνῆς ἀνατολῆς καὶ τοῦ χρώματος τοῦ περὶ τὸ διάστημα τὸ πρωϊνὸν τὴν ἡμέραν διὰ ἐπιθέτου κεκόσμηκεν. ῥοδοδάκτυλος.] ῥοδόχρους, ἀπὸ μέρους καλή.

Ἠώς.] διάφορα σημαίνει, τήν τε γὰρ σωματοειδῆ θεόν, διὰ τὸ φάναι τὸν Ποιητήν· Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέρῃ ἠδὲ βροτοῖσι. καὶ τὸν ὄρθρον, φερωνύμως κληθέντα ἀπὸ τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τῆς κοίτης, καὶ περὶ τὰ οἰκεῖα τρέπεσθαι ἔργα. ὅταν φήσει, Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν. καὶ τὸ ἀπὸ πρωΐας, μέχρις ὥρας ἕκτης διάστημα. ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ. καὶ τὴν ὅλην ἡμέραν καθ' ὃ σημαινόμενον ἡμέρα νοεῖται ὁ ἀπὸ ἀνατολῆς τοῦ ἡλίου δρόμος μέχρι δύσεως, ὁπότε τὴν ὑπὲρ ἡμᾶς ποιεῖται φορὰν ὁ θεὸς οὗτος, τὸ παρ' ἡμᾶς δεξιὸν ἡμισφαίριον. οἳ δ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ ἠοῖ τῇ προτέρῃ, τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι. καὶ, ἤματι τῷ προτέρῳ ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ. καὶ τὸ συναμφότερον ἡμέραν τε καὶ νύκτα, καθ' ὃ σημαινόμενον καὶ παρὰ τοῖς μαθηματικοῖς νοεῖται. ἠὼς δέ μοι ἐστὶν ἤδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα. καὶ τὴν ἡλίου πάροδον, καὶ τὸν τόπον ὅθεν ἀνατέλλει ὁ ἥλιος, κατὰ Ἀρίσταρχον· ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς· οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν· οὐδ' ὅπῃ ἀννεῖται. νῦν γὰρ καθά φησιν ὁ Κράτης, τῶν τεσσάρων τοῦ κόσμου μέμνηται μερῶν· ἄρκτου, μεσημβρίας, ἀνατολῆς, δύσεως, ἅπερ ἀλλήλοις ἐξ ἀντιθέτου ἀντίκειται· ἡ μὲν ἄρκτος, τῇ μεσημβρίᾳ· ἡ δὲ ἀνατολὴ τῇ δύσει.

ἐξ εὐνῆφιν.] ἐκ τῆς κοίτης. ἑσσάμενος.] ἐνδυσάμενος. θέτο.] περιέθετο. παλάμῃ δ' ἔχε χάλκεον ἔγχος.] ἀντὶ σκήπτρου τὸ δόρυ κατεῖχεν ὡς οὐ συγκεχωρημένος εἶναι βασιλεύς.

κύνες ἀργοί.] ὑπὸ συνηθείας ἢ ἀσφαλείας χάριν. ἀργοί.] λευκοί, ἢ ταχεῖς. θεσπεσίην.] θείαν, θαυμαστήν. κατέχευεν.] κατέχεε, κατέβαλεν. θηεῦντο.] θεωροῦντες ἐθαύμαζον. θώκῳ.] τοῦτον οἱ Ἀττικοὶ θᾶκον λέγουσι, ἔστι δὲ καθέδρα. εἶξαν.] ὑπεχώρησαν. Αἰγύπτιος ὄνομα κύριον. κυφός.] κεκυφώς, κεκυρτωμένος. ᾔδη.] ἠπίστατο. εὔπωλον.] καλοῖς ἵπποις χρωμένην. πύματον δ' ὡπλίσατο δόρπον.] ἤτοι τὸν ἐν τάξει ἔσχατον. ἢ ἐπιφρωνέον † τοῦτο εἴρηκε. ἢ πύματον τῶν ἕξ, ἢ δόρπον πύματον. οὐκέτι γὰρ ὁ Κύκλωψ ἔφαγε. συναποβαλὼν τῷ φωτὶ καὶ τὸ ζῆν, ὡς καὶ λέγεται. δόρπον.] τὸ καθ' ἡμᾶς δεῖπνον. τρισὶ δὲ τροφαῖς ἐχρῶντο. καὶ τὴν μὲν πρώτην ἐκάλουν ἄριστον, ἣν ἐλάμβανον πρωΐας σχεδὸν ἔτι σκοτίας οὔσης. καὶ ὠνομάσθη ἄριστον ἢ παρὰ τὸ λαμβάνοντας αὐτοὺς εἰς τὴν ἀριστείαν προέρχεσθαι, ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τὴν τροφήν. παρὰ τὸ ἄειρε ὠνομασμένης τῆς λέξεως. μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ. τὴν δευτέραν δεῖπνον, μεθ' ὃ ἔδει πονεῖν. ὅπερ ἐστὶν ἐνεργεῖν, λαμβάνοντες γὰρ ταύτην τὴν τροφὴν πάλιν περὶ τὰ πολεμικὰ ἔργα ἐπόνουν. τὴν δὲ τρίτην δόρπον τὸ καθ' ἡμᾶς λεγόμενον δεῖπνον, καὶ ἔστι κατὰ τὸ ἔτυμον ἰαύδορπον. ὅταν εἰς τὸ ἰαύειν πορευώμεθα. ὅπερ ἐστὶ κοιμᾶσθαι.

† ὧδε σφόδρα νέῳ

# ΟΔΥΣΣΕΙΑΣ Β ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Βῆτ' ἀγορὴν ἔχει, ἠδὲ γένος, πλόον μετ' Ἀθήνας.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὤρνυτ' ἄρ' ἐξ εὐνῆφιν Ὀδυσσῆος φίλος υἱός,
Εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ.
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
Αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε,
Κηρύσσειν ἀγορὴν δὲ καρηκομόωντας Ἀχαιούς,
Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Βῆ ῥ' ἴμεν εἰς ἀγορήν. παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
Οὐκ οἶος, ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
Θεσπεσίην γ' ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη.
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἕζετο δ' ἐν πατρὸς θώκῳ, εἶξαν δὲ γέροντες.
Τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν.
Ὃς δὴ γήραϊ κυφὸς ἔην, καὶ μυρία ᾔδη,
Καὶ γὰρ τοῦ φίλος υἱὸς ἅμ' ἀντιθέῳ Ὀδυσῆϊ
Ἴλιον εἰς εὔπωλον ἔβη κοίλῃς ἐνὶ νηυσίν,
Ἄντιφος αἰχμητής, τὸν δ' ἄγριος ἔκτανε Κύκλωψ
Ἐν σπῆϊ γλαφυρῷ, πύματον δ' ὡπλίζατο δόρπον,
Τρεῖς δέ οἱ ἄλλοι ἔσαν καὶ ὁ μὲν μνηστῆρσιν ὁμίλει
Εὐρύνομος,



μᾶσθαι.

Εὐρύνομος, δύο δ' αἰὲν ἔχον πατρώϊα ἔργα.
Ἀλλ' οὐδ' ὧς τοῦ λήθετ' ὀδυρόμενος καὶ ἀχεύων,
Τοῖς ὅγε δακρυχέων ἀγορήσατο καὶ μετέειπε.
Κέκλυτε δὴ νῦν μευ Ἰθακήσιοι, ὅ,ττι κεν εἴπω.
Οὔτε ποθ' ἡμετέρη ἀγορὴ γένετ', οὔτε θόωκος,
Ἐξ οὗ Ὀδυσσεὺς δῖος ἔβη κοίλῃς ἐνὶ νηυσί,
Νῦν δὲ τίς ὧδ' ἤγειρε, τίνα χρειὼ τόσον ἵκει,
Ἠὲ νέων ἀνδρῶν, ἢ οἱ προγενέστεροί εἰσιν,
Ἠέ τιν' ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο,
Ἥν χ' ἡμῖν σάφα εἴποι ὅτε πρότερός γε πύθοιτο,
Ἦ τι δήμιον ἄλλο πιφαύσκεται, ἠδ' ἀγορεύει,
Ἐσθλός μοι δοκεῖ εἶν' ὀνήμενος, εἴθε οἱ αὐτῷ,
Ζεὺς ἀγαθὸν τελέσειεν, ὅ,τι φρεσὶν οἷσι μενοινᾷ.
Ὡς φάτο. χαῖρε δὲ φήμῃ Ὀδυσσῆος φίλος υἱός,
Οὐδ' ἄρ' ἔτι δὴν ἧστο, μενοίνησεν δ' ἀγορεύειν,
Στῆ δὲ μέσῃ ἀγορῇ, σκῆπτρον δέ οἱ ἔμβαλε χειρί,
Κῆρυξ Πεισήνωρ πεπνυμένα μήδεα εἰδώς,
Πρῶτον, ἔπειτα γέροντα καθαπτόμενος προσέειπε.
Ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, τάχα δ' εἴσεαι αὐτός,
Ὃς λαὸν ἤγειρα, μάλιστα δέ μ' ἄλγος ἱκάνει,
Οὔτε τιν' ἀγγελίην στρατοῦ ἔκλυον ἐρχομένοιο,
Ἥν χ' ὑμῖν σάφα εἴπω, ὅτε πρότερός γε πυθοίμην,
Οὔτε τι δήμιον ἄλλο πιφαύσκομαι, οὐδ' ἀγορεύω,
Ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ
Δοιά, τὸ μὲν πατέρ' ἐσθλὸν ἀπώλεσα, ὅς ποτ' ἐν ὑμῖν
Τοίσδεσιν βασίλευε, πατὴρ δ' ὣς ἤπιος ἦεν.
Νῦν δ' αὖ καὶ πολὺ μεῖζον, ὃ δὴ τάχα οἶκον ἅπαντα
Πάγχυ διαρραίσει, βίοτον δ' ἀπὸ πάμπαν ὀλέσσει.
Μητέρι μοι μνηστῆρες ἐπέχραον, οὐκ ἐθελούσῃ,
Τῶν ἀνδρῶν φίλοι υἷες οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι.
Οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι
Ἰκαρίου, ὥς κ' αὐτὸς ἐεδνώσαιτο θύγατρα,
Δοίη δ' ᾧ κ' ἐθέλοι, καί οἱ κεχαρισμένος ἔλθοι,
Οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
Βοῦς ἱερεύοντες καὶ ὄϊς, καὶ πίονας αἶγας
Εἰλαπινάζουσι, πίνουσί τε αἴθοπα οἶνον
Μαψιδίως, τὰ δὲ πολλὰ κατάνεται, οὐ γὰρ ἔπ' ἀνήρ
Οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
Ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεν, ἢ καὶ ἔπειτα
Λευγαλέοι τ' ἐσόμεσθα, καὶ οὐ δεδαηκότες ἀλκήν,
Ἦ τ' ἂν ἀμυναίμην εἴ μοι δύναμίς γε παρείη.
Οὐ γὰρ ἔτ' ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ' ἔτι καλῶς
Οἶκος ἐμὸς διόλωλε, νεμεσσήθητε καὶ αὐτοί,
Ἄλλους αἰδέσθητε περικτίονας ἀνθρώπους,
Οἳ περιναιετάουσι, θεῶν δ' ὑποδείσατε μῆνιν
Μή τι μεταστρέψωσιν ἀγασσάμενοι κακὰ ἔργα,

μάθῃ. Αἰσχύλος δὲ καὶ δὴ τάξεως τῶν ὀνομάτων μάρτυς ἐστί, λέγων ἄριστα δέ τινα δέρπα αἱρεῖσθαι. ὁμίλει.] συνανεστρέφετο. ἔχον.] εἶχον, κατεῖχον. ἔργα.] τὰ γεωργικά. ἵκει.] ἀφικνεῖται. θόωκος.] συνέδριον. ἤγειρε.] συνήθροισεν, παρώρμησεν. προγενέστεροι.] πρεσβύτεροι. στρατοῦ ἔκλυεν.] ἤτοι πολεμίων, ἢ τῶν μετ' Ὀδυσσέως. ὅτε.] ἡνίκα. πρότερος.] πρῶτος. δήμιον.] δημόσιον. πιφαύσκεται.] προσημαίνει. ὀνήμενος.] ὄνησιν ἔχων τοῦ λάβοι. λάμπει τὸ ἦν. ὀνήμενος εἰλημμένοις. μενοινᾷ.] κατὰ διάνοιαν ἐνθυμεῖται. φήμῃ.] τῇ κληδόνι. μενοίνησεν.] προεθυμήθη. καθαπτόμενος.] ἤτοι τὸν λόγον πρὸς αὐτὸν ποιούμενος, ἀμειβόμενος, ἀποδεχόμενος, ἢ κατὰ πραΰνων καὶ προσαγόμενος. εἴσεαι.] μαθήσῃ. ἔκλυον.] ἤκουσα, πυθοίμην, ἀκούσω. πιφαύσκομαι.] προμηνύω, προλέγω. ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ.] μετὰ τοῦτο ὑποστακτέον. δοιά.] δύο ἢ διχῶς. τοίσδεσιν.] ἐν τούτοις. διαρραίσει.] διαφθερεῖ. ὀλέσσει.] ἀπολέσει. ἐπέχραον.] μετὰ βλάβης καὶ ἐπιβουλῆς ἐπῆλθον. ἀπερρίγασι.] δεδίασι, φοβοῦνται, δεδοίκασιν. ἐεδνώσαιτο.] ἕδνα ἐπιδώσει, καὶ κυρίως μὲν ἕδνα ἐστὶ τὰ διδόμενα ἀπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ. νῦν δὲ καταχρηστικῶς κεῖται ἡ λέξις ἀντὶ τοῦ χρήματα ἐπιδοίη. ᾧ.] ᾧ ἄν. κεχαρισμένος.] προσφιλής, ἡδύς. πωλεύμενοι.] παραγινόμενοι, ἀναστρεφόμενοι. ἤματα πάντα.] πάντα τὸν χρόνον. ἱερεύοντες.] θύοντες. ὄϊς.] πρόβατα. πίονας.] λιπαράς. εἰλαπινάζουσι.] ἐν ἀθροίσματι συνάγονται, ἑορτάζουσιν. μαψιδίως.] ματαίως. κατάνεται.] καταναλίσκεται. ἢ καὶ ἔπειτα.] ὄντως γὰρ αὖ μετὰ τὸ ἐπιχειρῆσαι. λευγαλέοι.] ἀσθενεῖς, ἀδύνατοι. δεδαηκότες.] εἰδότες, μεμαθηκότες. ἀλκήν.] τὸν πόρον δὲ βοηθείας, δύναμιν. ἀμυναίμην.] ἀντὶ τοῦ ἠμυνάμην. ἀνσχετά.] ἀνασχετά, ὑπομενητικά. τετεύχαται.] κατεσκευασμένα εἰσίν. διόλωλε.] διεφθάρη, ἀπώλετο. νεμεσσήθητε.] μεμπτὸν ἡγήσασθε. περικτίονας.] τοὺς περιοικοῦντας. ναιετάουσιν.] οἰκοῦσιν. ὑποδείσατε.] φοβήθητε. μεταστρέψωσι.] μεταβάλλωσιν. ἀγασάμενοι.] χολωθέντες.

θέμιστος.]

Λίσσομαι

Λίσσομαι, ἠμὲν Ζηνὸς Ὀλυμπίου ἠδὲ θέμιστος,
Ἥτ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει, ἠδὲ καθίζει,
Σχέσθε φίλοι καί μ' οἶον ἐάσατε πένθεϊ λυγρῷ
Τείρεσθ', εἰ μήπου τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς,
Δυσμενέων κάκ' ἔρεξεν ἐϋκνήμιδας Ἀχαιοὺς,
Τῶν μ' ἀποτινύμενοι κακὰ ῥέζετε δυσμενέοντες,
Τούτους ὀτρύνοντες. ἐμοὶ δέ κε κέρδιον εἴη
Ὑμέας ἐσθέμεναι κειμήλιά τε, πρόβασίν τε,
Εἴχ' ὑμεῖς γε φάγοιτε, τάχ' ἄν ποτε, καὶ τίσις εἴη.
Τόφρα γὰρ ἂν κατ' ἄστυ ποτιπτυσσοίμεθα μύθῳ,
Χρήματ' ἀπαιτίζοντες ἕως κ' ἀπὸ πάντα δοθείη.
Νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ.
Ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ,
Δάκρυ' ἀναπρήσας, οἶκτος δ' ἕλε λαὸν ἅπαντα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὐδέ τις ἔτλη
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν.
Ἀντίνοος δέ μιν οἶος ἀμειβόμενος προσέειπε.
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες
Ἡμέας αἰσχύνων, ἐθέλεις δέ κε μῶμον ἀνάψαι,
Σοὶ δ' οὔτι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν
Ἀλλὰ φίλη μήτηρ, ἥτοι πέρι κέρδεα οἶδεν,
Ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον,
Ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσιν Ἀχαιῶν.
Πάντας μὲν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
Ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ.
Ἡ δὲ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν,
Στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
Λεπτὸν, καὶ περίμετρον, ἄφαρ δ' ἡμῖν μετέειπεν.
Κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον εἰσόκε φᾶρος
Ἐκτελέσω, μή μοι μεταμώλια νήματ' ὄληται
Λαέρτῃ ἥρωϊ ταφήϊον εἰς ὅτε κέν μιν,
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο.
Μή τις μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ.
Αἴκεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας,
Ὣς ἔφατ' ἡμῖν δ' αὖτε πεπείθετο θυμὸς ἀγήνωρ,
Ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκε μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκεν ἐπὴν δαΐδας παραθεῖτο.
Ὣς τρίετες μὲν ἔληθε δόλῳ, καὶ ἔπειθεν Ἀχαιούς.
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη.

Καὶ τὴν

θέμιστος.] Αἰολικῶς ἀντὶ Θέμιδος. ἥτ' ἀνδρῶν ἀγοράς.] τινὲς φήθησαν εἰς τὰς ἐκκλησίας εἰσφέρεσθαι Θέμιδος ἄγαλμα. σχέσθε.] βοηθήσατε. τὸ γὰρ φίλον ἀνάρμοστον κατὰ τῶν μνηστήρων ἵνα ᾖ ἀπόσχεσθε. τείρεσθαι.] καταπονεῖσθαι. δυσμενέων.] ἐχθραίνων. κακὰ ῥέξεν.] ἐκακοποίει. τῶν.] ὑπὲρ ὧν. ἀποτινύμενοι.] τιμωρούμενοι. ῥέζετε.] πράττετε. δυσμενέοντες.] δυσχεραίνοντες, ἐχθρωδῶς διακείμενοι. ὀτρύνοντες.] παροξύνοντες, διεγείροντες. πρόβασιν.] πρόσοδον, ἀπὸ τοῦ προβαίνειν. ἐκ τούτου τὴν οὐσίαν. τίσις.] ἀπόδοσις. πρόβασιν.] τὴν τῶν τετραπόδων κτῆσιν. ποτιπτυσσοίμεθα.] προσεβνιζοίμεθα, παραβάλλοιμεν ἢ ἀχάριστοι γινοίμεθα. ἀπαιτίζοντες.] ἀπαιτοῦντες. ἕως.] μέχρις ὅτε. ἀπρήκτους.] ἀπράκτους. δάκρυα ἀναπρήσας.] δακρύων πλῆθος προϊέμενος. οἶκτος.] ὀδυρμὸς λύπη. ἀκὴν ἔσαν.] ἥσυχοι ἦσαν, ἐσιώπων. ἀμειβόμενος.] ἐξ ἀμοιβῆς ἀνταποκρινόμενος. ὑψαγόρη.] μεγαλορρῆμον. μένος ἄσχετε.] ἀκατάσχετε τῇ δυνάμει, εἰρωνικῶς ἀδύνατε. μῶμον.] ψόγον. ἀνάψαι.] περιποιῆσαι, περιθεῖναι. κέρδεα.] δόλους πανουργίαν ἢ σύνεσιν. εἶσιν.] ἐλεύσεται. ἀτέμβει.] στερίσκει, ἀφαιρεῖται. ἔλπει.] εἰς ἐλπίδα ἄγει. περίμετρον.] μέγα. μεταμώλια.] μάταια μὴ ὀνειμὴ ὄνια· μώνια, καὶ μώλια. ὡς νίτρον, λίτρον· πνεύμων, πλεύμων. ταφήϊον.] ἐντάφιον. κατὰ παράθεσιν τοῦ η. ὡς πολεμήϊον. νεμεσήσῃ.] μέμψηται. αἴκεν ἄτερ σπείρου.] ὡς ἀξίου ἱμασίου σπανίζοντος αὐτοῦ. οὐ γὰρ παντελῶς ἐσπάνιζε. σπεῖρον ὕφασμα, δυνάμενον σπειροῦν, καὶ σπαργανοῦν, τὸ αὐτῷ περιτιθέμενον, ἢ ἱμάτιον. ὡς τὸ, σπεῖρα κάκ' ἀμφ' ὤμοισι. ἔνθα.] τότε, χρονικῶς. ἠματίη μὲν ὑφαίνεσκε, νύκτας δ' ἀλλύεσκε.] ἀναλύεσκε, σχῆμα ἀντὶ παρισώσεως. ἐπὴν δαΐδας.] ἐντελεῖς ἡρωϊκῆς δηλωτικὴ, ἡ τῶν δᾳδῶν παράθεσις. Πηνελόπη φασὶν ἡ φιλοσοφία. ἱστὸς ἡ ἐπίθεσις τῶν προτάσεων, ἐξ ὧν αἱ συλλογιστικαὶ συμπλοκαί. ἀνάλυσις ἡ οὕτω καλουμένη παρὰ τοῖς φιλοσόφοις. ἧς οὐκ ἐπαΐουσιν οἱ παχεῖς, καὶ σπάταλοι μνηστῆρες. διὸ καὶ παύουσιν αὐτὴν κύβοις αὖθις ἐπιρρίψαντες ἑαυτούς. θεῖον γὰρ ἔργον τὸ τοιοῦτον, διὸ καὶ ἡ Πηνελόπη λέγει ἐξῆς θεὸν ἐμπνεῦσαι αὐτῇ, τὰ κατὰ τὸν τοιοῦτον ἱστόν. θεράπαινα δὲ, ἡ προστετηκυῖα τῇ φιλοσοφίᾳ συλλογιστικὴ μέθοδος. δαΐδες δὲ αἱ ἀντὶ γνώσεως. ἐπήλυθον ὧραι.] ὧραι τοῦ τετάρτου ἔτους. πῶς συνέμπροσθεν ἔλεγε τάχα δ' εἶσι τέταρτον. οἷον τελειωθήσεται. καὶ τότε δή τις ἔειπε.] ποιητικὴ οἰκονομία εἰς τὰ ἑξῆς. ἵνα καὶ τὴν τῶν θεραπαινῶν ἀνάκρισιν ἑτοίμως παραδεξώμεθα. δηλοῦται δὲ ἡ δουλικὴ ἀπιστία.

 καὶ οὐκ

καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.] τὴν βίαν τῶν μνηστήρων ἐδήλωσεν. σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονται.] ἀντὶ τοῦ οὕτως ἀποκρίνονται. ὅρα δὲ ὅπερ Ἀντίνοος ἑαυτῷ τοὺς ὅλους μνηστῆρας ὑποκρίνεται ὡς αὐτὸς ὢν οἱ πάντες. καλῶς ἄρα πρὸ πάντων αὐτὸς πεσεῖται ὑπ' Ὀδυσσέως βληθείς. ὅτεῳ.] ὅτῳ. ὡς Πηνελέῳ. περὶ δὲ τῆς γνώμης Ἰκαρίου δεδήλωται καὶ ἐν ἄλλοις. ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται Εὐρυμάχῳ γήμασθαι. εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον.] ἡ ἀνταπόδοσις ἐν τῷ ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα. τὰ δὲ λοιπὰ διὰ μέσου. ἢ ἀνανταπόδοτον τὸ εἰ, καθ' ὡς εἴωθε ποιεῖν. ὡς καὶ τό, ἀλλ' εἰ μὲν δώσουσι γέρας. ἅ οἱ περιδῶκεν Ἀθήνη.] πικρῶς καθαψάμενος τῆς Πηνελόπης διαχέαι αὐτὴν βούλεται τοῖς ἐγκωμίοις. κέρδεα.] πανουργεύματα. οὐχ ὡς ἡμεῖς, τὴν φιλοχρηματίαν. ἐϋπλοκαμῖδες.] εὐπλόκαμις. ὡς εὐκνήμις. πολυψήφις. ἐϋπλόκαμός τε Μυκήνη.] Ἰνάχου θυγάτηρ καὶ Μελίας τῆς Ὠκεανοῦ. ἐν στήθεσσι τιθεῖσι θεοί. θεόσοφον λέγει τὴν Πηνελόπην ἀλλ' οὐχ οὕτως ὁ νοῦς. ἀλλ' ἐρεθίζει τὸν Τηλέμαχον ἀπώσασθαι τὴν μητέρα. εἰ διὰ τὸ ἴδιον συμφέρον παρορᾷ τὰ τοῦ Τηλεμάχου. ἔστι δὲ τοῦτο καὶ φήμη ἐσχηματισμένη. ἀληθῶς γὰρ οὕτως ἀπέβη τοῖς μνηστῆρσι. ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα.] τοῦτο πρὸς κακοῦ τοῖς μνηστῆρσιν. ἐξὸν σωθῆναι ἄλλην τραπομένους, ὅμως πάντες ὁμοῦ εὑρεθέντες, πανωλεθρίαν ἔπαθον. καὶ εἴη ἂν ὁ τελευταῖος οὗτος τοῦ Ἀντινόου λόγος. ὡς οἷά τις κατὰ τῶν μνηστήρων προεκθετικὴ ἀναφώνησις. Ἀντίνοε.] πυκνότητα καὶ συντομίαν καὶ ἰσχὺν νοημάτων ἐνδείκνυται ὁ Τηλέμαχος. ἥ μ' ἔτεχ', ἥ μ' ἔθρεψεν.] ἐπίτασιν δηλοῖ γνησιότητος τὸ, ἥ μ' ἔθρεψε. πολλαὶ γὰρ μητέρες ἐκτιθέασι ταῖς τίτθαις τὰ τέκνα. διὸ καὶ ἀποστέργονται διὰ τὴν ἄπονον εἰλήθυιαν. δόμων ἀέκουσαν ἀπῶσαι.] καὶ οὗτος τεχνικὴν ἄγαν μερικὴν τὴν ἀντίρρησιν ποιεῖται. περὶ μὲν γὰρ τῆς ἀπάτης καὶ τῆς ὑποσχέσεως σιωπᾷ. παρατηρήσας δὲ ὅπῃ μάλιστα ἀκριβιώσῃ ὁ Ἀντίνοος. πρὸς τοῦτο τὴν ἀντίρρησιν ποιεῖται. ἔστι γὰρ πρόσφορον ἐν πλήθει, τὸ ὑπὲρ τῆς φύσεως λόγον ἀντικαταστῆσαι. ὅρα δὲ καὶ τὴν ὑπαλλαγὴν τοῦ ῥήματος. ὁ μὲν, ψιλῶς εἶπεν ἀπόπεμψον. ὁ δὲ, οὐκ ἂν φησὶν ἀπώσασθαι, καὶ ὁ μὲν μητέρα. ὁ δ' ἥ μ' ἔτεχ' ἥ μ' ἔθρεψε. καὶ ἐπὶ τούτοις τὸ ἐνίψω. κακὸν δέ με πόλλ' ἀποτίνειν.] καθ' ἔνια τῶν ὑπομνημάτων ἡ τούτων ἐξήγησις ἡμάρτηται. φασὶ γὰρ ὡς ἔθος, εἴ τις ἑκὼν ἐξ οἴκου γυναῖκα ἀπέπεμψε, χρήματα ἀποτίνειν τοῖς αὐτῆς συγγενέσι καὶ τῷ πατρί. φησὶν οὖν ὅτι κακόν ἐστι. καὶ οἷον ἀλυσιτελὲς εἰ ἐκδιώξω τοῦ οἴκου τὴν μητέρα. πολλὰ γὰρ ἀποτίσω τῷ Ἰκαρίῳ. ἄμεινον δὲ οὕτω διαστέλλειν. κακὸν δέ με πόλλ' ἀποτίνειν. καὶ οὐ περὶ χρημάτων φησὶν ἀλλὰ περὶ τῶν ἐπαγομένων. ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι. ἄλλα δὲ δαίμων δώσει. εἶτα καθ' ὑπερβατὸν αἴκεν αὐτὸς Ἰκαρίῳ ἀποπέμψω τὴν μητέρα. εἰ περὶ χρημάτων ἔλεγε, μικρολόγος ἂν ἐφάνη τοῦ πατρός. οὐ γὰρ ἀπεγνώκει αὐτόν. ἐπειδή, φησίν, ἐσόμενος πατὴρ ἐσθλὸν ἐνὶ φρεσίν. ἄλλως τε κατὰ Καλλίμαχον. χαλεπαὶ μῆνιες ἐπιχθονίων. διὸ Ἀρίσταρχος ἀθετεῖ, τὸ, ἔσσεται ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω. περισσὸς γάρ ἐστιν οὖν, πρὸς ταύτην τὴν ἀπόδοσιν. ἀρήσετ' ἐριννῦς.] τοῦτο ἔλεγον ἐπιθεάζειν τῷ δεῖνι οἱ ὕστερον. ὡς παράφορε κράτει. ἐνίψω.] τὸ μετὰ σφοδρότητος καὶ ἀπειλῆς λέγειν.

Καὶ τὴν δ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν,
Ὣς τὸ μὲν ἐξετέλεσσε, καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.
Σοὶ δ' ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν' εἰδῇς
Αὐτὸς σῷ θυμῷ, εἰδῶσι δὲ πάντες Ἀχαιοί.
Μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι.
Τῷ, ὅτεῴ τε πατὴρ κέλεται, καὶ ἁνδάνει αὐτῇ.
Εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν,
Τὰ φρονέουσ' ἀνὰ θυμόν, ἅ οἱ περιδῶκεν Ἀθήνη
Ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς,
Κέρδεά θ' οἷ' οὔπω τιν' ἀκούομεν, οὐδὲ παλαιῶν
Τάων, αἳ πάρος ἦσαν ἐϋπλοκαμῖδες Ἀχαιαί,
Τυρώ τ', Ἀλκμήνη τε, ἐϋπλόκαμός τε Μυκήνη,
Τάων οὔτις ὁμοῖα νοήματα Πηνελοπείῃ
Ἤδη, ἀτὰρ μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησεν,
Τόφρα γὰρ οὖν βίοτόν τε τεόν, καὶ κτήματ' ἔδονται,
Ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον ὅν τινά οἱ νῦν,
Ἐν στήθεσσι τιθεῖσι θεοὶ μέγα μὲν κλέος αὐτῇ
Ποιεῖτ', αὐτὰρ σοί γε ποθὴν πολέος βιότοιο,
Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
Πρίν γ' αὐτὴν γήμασθαι Ἀχαιῶν, ᾧ κ' ἐθέλῃσιν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Ἀντίνο' οὔπως ἔστι δόμων ἀέκουσαν ἀπῶσαι,
Ἥ μ' ἔτεχ', ἥ μ' ἔτρεψε, πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης
Ζώει ὅγ', ἢ τέθνηκε. κακὸν δέ με πόλλ' ἀποτίνειν
Ἰκαρίῳ, αἴκ' αὐτὸς ἐγὼν ἀπὸ μητέρα πέμψω.
Ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
Δώσει, ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ' Ἐριννῦς,
Οἴκου ἀπερχομένη, νέμεσις δέ μοι ἐξ ἀνθρώπων
Ἔσσεται, ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω.
Ὑμέτερος δ' εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,
Ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας.
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
Εἰ δ' ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον,
Ἔμμεναι ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσσαι,

Κείρετ'

ἐναντιωτ

Κείρετ', ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας.
Αἴκε ποθὶ Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι,
Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς φάτο Τηλέμαχος, τῷ δ' αἰετὼ εὐρύοπα Ζεὺς
Ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι.
Τὼ δ' ἕως μὲν ῥ' ἐπέτοντο μετὰ πνοιῆς ἀνέμοιο,
Πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσιν,
Ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,
Ἔνθ' ἐπιδινηθέντε, τιναξάσθην πτερὰ πολλά,
Ἐς δ' ἰδέτην πάντων κεφαλάς, ὄσσοντο δ' ὄλεθρον,
Δρυψαμένω δ' ὀνύχεσσι παρειάς, ἀμφί τε δειρὰς
Δεξιὼ ἤϊξαν, διά τ' οἰκία καὶ πόλιν αὐτῶν,
Θάμβησαν δ' ὄρνιθας ἐπεὶ ἴδον ὀφθαλμοῖσιν,
Ὥρμηναν δ' ἀνὰ θυμόν, ἅπερ τελέεσθαι ἔμελλον.
Τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἁλιθέρσης
Μαστορίδης, ὁ γὰρ οἶος ὁμηλικίην ἐκέκαστο,
Ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι,
Ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπε.
Κέκλυτε δὴ νῦν μευ Ἰθακήσιοι, ὅ, ττι κεν εἴπω.
Μνηστῆρσιν δὲ μάλιστα πιφαυσκόμενος τάδε εἴπω,
Τοῖσι γὰρ μέγα πῆμα κυλίνδεται, οὐ γὰρ Ὀδυσσεὺς
Δὴν ἀπάνευθε φίλων ὧν ἔσσεται, ἀλλά που ἤδη
Ἐγγὺς ἐών, τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει
Πάντεσσιν, πολέσιν δὲ καὶ ἄλλοισι κακὸν ἔσται.
Οἳ νεμόμεσθ' Ἰθάκην εὐδείελον, ἀλλὰ πολὺ πρὶν
Φραζώμεσθ', ὥς κεν καταπαύσομεν, ἠδὲ καὶ αὐτοὶ
Παυέσθων, καὶ γὰρ σφιν ἄφαρ τόδε λώϊον ἐστιν.
Οὐ γὰρ ἀπείρητος μαντεύομαι, ἀλλ' εὖ εἰδώς,
Καὶ γὰρ ἐκείνῳ φημὶ τελευτηθῆναι ἅπαντα
Ὥς οἱ ἐμυθεόμην, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ δέ σφιν ἔβη πολύμητις Ὀδυσσεύς.
Φῆν κακὰ πολλὰ παθόντ', ὀλέσαντ' ἄπο πάντας ἑταίρους
Ἄγνωστον πάντεσσιν ἐεικοστῷ ἐνιαυτῷ
Οἴκαδ' ἐλεύσεσθαι, τάδε δὴ νῦν πάντα τελεῖται.
Τὸν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάϊς ἀντίον ηὔδα.
Ὦ γέρον, εἰ δ' ἄγε νῦν μαντεύεο σοῖσι τέκεσσιν
Οἴκαδ' ἰών, μή πού τι κακὸν πάσχωσιν ὀπίσσω.
Ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι,
Ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο
Φοιτῶσ', οὐδέ τε πάντες ἐναίσιμοι, αὐτὰρ Ὀδυσσεὺς
Ὤλετο

ἐναντιωτῶ, λοιδορήσω. τῷ δ' αἰετώ.] ἡ μὲν τῶν ὀρνέων ἄφιξις, τὴν τῶν ἀγρῶν ἐπάνοδον Ὀδυσσέως καὶ τοῦ παιδὸς σημαίνει. καὶ ἡ μὲν ἐν ἀρχαῖς ἠρεμαία πτῆσις, τὴν μετὰ ἡσυχίας κάθοδον. ὁ δὲ κατὰ τὴν ἀγορὰν αὐτῶν θόρυβος, τὴν κατὰ τὴν πόλιν γενομένην ταραχήν. ὁ δὲ τιναγμὸς τῶν πτερῶν, ἀπώλειαν καὶ ἐλάττωσιν τῶν ἀρχομένων. τὸ δὲ καταδρύψαι τὰς παρειάς, τὸν τῶν μνηστήρων ἐσόμενον φόνον. διὰ δὲ τὸ κατὰ ἀνατολὰς ὁρμῆσαι, ὅτι οἱ μὲν δύο νικήσουσιν. οἱ δὲ μνηστῆρες, ἐν ζόφῳ γενήσονται. ἕως μέν.] τέως. μέχρι χρόνου τινός. μετὰ πνοιῆς ἀνέμοιο.] ὡς ἡσυχῇ τὸ ἔργον τὰ πρῶτα διαχειριζόμενοι. πλησίω ἀλλήλοισιν.] ἐπεὶ οὐκ ἀποστατοῦσιν ἀλλήλων ταῖς βουλαῖς. πτερὰ πολλά.] ἢ διότι πολλοὺς ἀπέβαλον καὶ τῶν ὑπηκόων. μνηστῆρας δὲ καὶ κήρυκας. καί τινας τῶν τοῦ οἴκου. ἢ διότι θανατώσουσι τοὺς μνηστῆρας οἰστοὺς ἐπαφιέντες πτερόεντας. πάντων κεφαλάς.] κοινὴν βλάβην δηλοῖ. δρυψαμένω δ' ὀνύχεσσιν.] ἐπειδὴ οὐ μόνον μνηστῆρσιν, ἀλλὰ καὶ πολλοῖς ἄλλοις Ἰθακησίων ἔσται κακά. καὶ πολλοὶ τὰς παρειὰς ἐπ' αὐτῷ δρύψονται. καὶ Ἰάμβλιχος οἶδεν ὄρνιθας, οἳ αὐτοὶ ἑαυτοὺς ἀναιροῦσιν, ὅπου δηλώσει μέλλοντος κακοῦ, ὑπὲρ φύσιν μέν τοι. δεξιὼ ἤϊξαν.] ἀνατολικοὶ οἱ αἴσιοι. καὶ πόλιν αὐτῶν.] ἢ τῶν Ἰθακησίων, ἢ τῶν ἀετῶν. ὡς ἐπαναστραφέντων ἔνθα ᾤκουν. ὃ καὶ ἐδήλου. ὡς καὶ Ὀδυσσεὺς καὶ Τηλέμαχος ἀνελόντες τοὺς μνηστῆρας, αὖθις εἰς ἀγρὸν ἀπελεύσονται. ἵνα πάλιν καὶ οἰκίαν, τὴν κατάπαυσιν τῶν ἀετῶν λέγει. διά τι μὴν τοῦ βασιλικοῦ τούτου ζώου. ὥρμηναν δ' ἀνὰ θυμόν.] οἱ γὰρ κακοὶ τὰς πράξεις κακὰς καὶ τὰς ἐλπίδας ἔχουσι. τὰ δὲ τοιαῦτα τῶν σημείων, τοῖς μὲν ἀγαθοῖς, τὸ θαρρεῖν. τοῖς δὲ πονηροῖς ἀποτροπὴν περιποιεῖται τῶν τολμωμένων. γέρων ἥρως.] τοιούτων γὰρ ἀνδρῶν, ἡ πολυπειρία. Ἁλιθέρσης.] νησιώτῃ καὶ ἁλιευτικῷ πρέπον ὄνομα. ὁ ἐν τῇ ἁλὶ δηλονότι θερόμενος. οἳ νεμόμεσθα.] συνάγει καὶ ἑαυτὸν τοῖς κακωθῆναι μέλλουσι διὰ τὸ φιλάληθες. εὐδείελον.] ἐπὶ πρὸς δείλην κειμένην. φυτεύει.] ἔνθεν οἱ ὕστερον ὑπορύττειν τὸ δολιεύεσθαι. κακὸν ἔσται.] ἤγουν ζημία. ἄφαρ.] συναπτικῶς, εὐθέως. ἀπὸ τοῦ ἅπτω, ἅψω, ἧφα. ἄφαρ. ψιλοῦται δὲ Αἰολικῶς. καὶ γὰρ ἐκείνῳ.] συνιστῶν ἑαυτὸν ἐπὶ μαντικῇ, ταῦτα λέγει. ὥς οἱ ἐμυθεόμην.] συναπτέον ἕως τὸ πολύμητις Ὀδυσσεύς, δύναται δέ τις καὶ ἐπὶ τοῦ μυθεόμην στίζειν. τοῖς ἄνω αὐτὰ ἀποδιδούς. καὶ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν· ὅτε Ἴλιον εἰσανέβαινον. ἵν' ὑποστίξωμεν μετὰ τὸ Ἀργεῖοι, καὶ Ὀδυσσεύς, ἡ δὲ ἀπόδοσις φῆν κακά. φῆν πολλὰ κακὰ παθόντα.] μέχρι τοῦ, τάδε δὴ νῦν πάντα τελεῖται, σύνοψις πάσης τῆς Ὀδυσσείας.

ὡς καὶ σὺ καταφθίσθαι.] τὸ ὡς ἀναφορικόν ἐστι, καὶ συναπτέον ἐπὶ τὸ ἐπάνω. ἢ ἀντὶ τοῦ εἴπε. καὶ ἀπὸ ἄλλης ἀρχῆς αὐτὸ ἀναγνωστέον. ὧδ' ἀνιείης.] ἀπὸ τοῦ ἀνίημι. ὡς τιθείης, κυνηγετικὴ ἡ λέξις. ὅτε τις κύνα τοῦ δεσμοῦ ἀνεὶς ἀφήσῃ κατὰ θηρός. δασυντέον. ἔστι γὰρ ἀντὶ τοῦ ἀναπείθεις. ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν τῶν ἐφιέντων ἱμάντας τοῖς κυσίν. ψιλοῖ δὲ Ἑλλάνικος παρὰ τὴν ἀνίαν, ἐκδεχόμενος τὸ λυπείης. εἰ γὰρ οὕτω, ἐχρῆν γράφειν ἀνιώῃς. τοιαύτη γὰρ ἦν συζυγία. παρφάμενος.] παραπείσας. παραλογιζόμενος. ἀνιηρέστερον.] λυπηρότερον. ὡς τὸ αἰδοιέστερον. ὤφειλε γὰρ ἀνιηρότερον. οὕτω καὶ ἀμορφέστερον. δικαιέστερον, ἀκρατέστερος. ἀπὸ τοῦ ἄκρατος. σπουδαιέστερος. ἀναγκαιέστερος. ἀλλοιέστερος. ἐπιτηδειέστερος. ἀφνειέστερος. καὶ Ἀριστοφάνης κατὰ Σέλευκον ἔγραφε φιλοκτεανέστατε. θωὴν ἐπιθήσομεν.] θωὴ ἡ ἐπιτιθεμένη τινὶ ζημία. ὅθεν ἀθῷος ὁ μὴ θωὴν πάσχων. οἱ δὲ γάμον τεύξουσιν.] ἀπὼν ἐς πατρός, μετέβη εἰς τὸ πληθυντικόν. οἱ δὲ γάμον τεύξουσιν. δηλονότι οἱ μνηστῆρες, καὶ εὐτρεπίζουσιν ἔεδνα, ὅσα δεῖ ἐπὶ τῇ τοιαύτῃ παιδὶ δίδοσθαι παρὰ τῶν γαμούντων. οἱ δὲ γάμον τεύξουσι.] τὸ σχῆμα περιττόν. ἄτομον. ἔεδνα.] τὰ παρὰ τοῦ νυμφίου. μείλια δέ, τὰ παρὰ τοῦ πατρὸς τῇ νύμφῃ διδόμενα. μνηστύος ἀργαλέης.] τῆς μέχρι νῦν ἀκατεργάστου. οὔτ' οὖν Τηλέμαχον.] θρασύτερα ταῦτα τοῦ Ἀντινόου. πολύμυθον.] ἀκριτόμυθον. σκώπτει εἰς ποσότητα. ὁ γὰρ Ἀντίνοος εἰς ποιότητα λόγου ἔσκωψεν. προειπὼν δέ, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης. οὔτε Τηλέμαχον, οὔτε τὴν μαντείαν. οὐκέτι ἐπήγαγεν οὔτε ἄλλον τινά. καίτοι ὁ λόγος ἀπῄτει. ἀλλ' εἶχεν ἀπεχθείαν πρὸς τὸ πλῆθος. κακῶς βεβρώσεται.] ὁμολογεῖ τὴν βίαν. οὐδέ ποτ' ἶσα.] ἤγουν αἰεὶ ἐλαττωθήσονται. διατρίβῃσιν.] διατρίβειν τό, χρονοτριβεῖν ἀναβάλλεσθαι καὶ τριψομερεῖν. ταῦτα μέν.] λείπει ἡμᾶς, ἀντὶ τοῦ, εἰς ταῦτα.

ἀλλ' ἄγε μοι δότε νῆα.] πρὸς τοὺς Ἰθακησίους. ἢ τὴν ὑπόνοιαν ἀποτριβόμενος, αἰτεῖται παρὰ τῶν μνηστήρων τὰ πρὸς τὴν πορείαν· πῶς γὰρ ἠδύνατο σκευωρεῖν κατ' αὐτῶν πολίτας ὀπαδοὺς ἔχων. κέκλυτε νῦν μευ Ἰθακήσιοι.]

ὁρῶν

Ὤλετο τῆλ', ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνῳ
Ὤφελες, οὐκ ἂν τόσα θεοπροπέων ἀγόρευες,
Οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ' ἀνιείης,
Σῷ οἴκῳ δῶρον ποτιδέγμενος αἴ κε πόρῃσιν.
Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται.
Αἴ κε νεώτερον ἄνδρα παλαιά τε πολλά τε εἰδὼς,
Παρφάμενος ἐπέεσσιν ἐποτρύνῃς χαλεπαίνειν,
Αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται,
Πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεται εἵνεκα τῶνδε,
Σοὶ δὲ γέρον θωὴν ἐπιθήσομεν, ἥν κ' ἐνὶ θυμῷ
Τίνων ἀσχάλλῃς, χαλεπὸν δέ τι ἔσσεται ἄλγος.
Τηλεμάχῳ δ' ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτὸς,
Μητέρα ἣν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι,
Οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα.
Πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
Οὐ γὰρ πρὶν παύσεσθαι ὀΐομαι υἷας Ἀχαιῶν
Μνηστύος ἀργαλέης, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης,
Οὔτ' οὖν Τηλέμαχον μάλα περ πολύμυθον ἐόντα
Οὔτε θεοπροπίης ἐμπαζόμεθ', ἣν σὺ γεραιὲ
Μυθέαι ἀκράαντον, ἀπεχθάνεαι δ' ἔτι μᾶλλον,
Χρήματα δ' αὖτε κακῶς βεβρώσεται, οὐδέ ποτ' ἶσα
Ἔσσεται, ὄφρα κεν ἥγε διατρίβῃσιν Ἀχαιοὺς
Ὃν γάμον, ἡμεῖς δ' αὖ ποτιδέγμενοι ἤματα πάντα,
Εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ' ἄλλας
Ἐρχόμεθ' ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Εὐρύμαχ' ἠδὲ καὶ ἄλλοι ὅσοι μνηστῆρες ἀγαυοί,
Ταῦτα μὲν οὐχ ὑμέας ἔτι λίσσομαι, οὐδ' ἀγορεύω.
Ἤδη γὰρ τάγ' ἴσασι θεοί, καὶ πάντες Ἀχαιοί,
Ἀλλ' ἄγε μοι δότε νῆα θοήν, καὶ εἴκοσ' ἑταίρους,
Οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον,
Εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
Νόστον πευσόμενος πατρὸς δὴν οἰχομένοιο.
Ἤν τίς μοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσω
Ἐκ Διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι,
Εἰ μέν κεν πατρὸς βίοτον, καὶ νόστον ἀκούσω,
Ἦτ' ἂν τρυχόμενός περ ἔτι τλαίην ἐνιαυτόν,
Εἰ δέ κε τεθνειῶτος ἀκούσω μηδ' ἔτ' ἐόντος,
Νοστήσας δ' ἤπειτα φίλην ἐς πατρίδα γαῖαν,
Σῆμά τέ οἱ χεύω, καὶ ἐπὶ κτέρεα κτερεΐξω,
Πολλὰ μάλ' ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δώσω.
Ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο, τοῖσι δ' ἀνέστη
Μέντωρ ὅς ῥ' Ὀδυσῆος ἀμύμονος ἦεν ἑταῖρος,
Καί οἱ ἰὼν ἐν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα.
Πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν,
Ὅσφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν,

Κέκλυτε

Κέκλυτε δὴ νῦν μευ Ἰθακήσιοι ὅ,ττι κεν εἴπω.
Μήτις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
Σκηπτοῦχος βασιλεὺς, μὴ δὲ φρεσὶν αἴσιμα εἰδὼς,
Ἀλλ' αἰεὶ χαλεπός τ' εἴη, καὶ αἴσυλα ῥέζοι.
Ὡς οὔτις μέμνηται Ὀδυσσῆος θείοιο
Λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν,
Ἀλλ' ἤτοι μνηστῆρας ἀγήνορας οὔτι μεγαίρω
Ἔρδειν ἔργα βίαια κακοῤῥαφίῃσι νόοιο,
Σφὰς γὰρ παρθέμενοι κεφαλὰς κατέδουσι βιαίως
Οἶκον Ὀδυσσῆος, τὸν δ' οὐκ ἔτι φασὶ νέεσθαι,
Νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες
Ἧσθ' ἄνεω, ἀτὰρ οὔτι καθαπτόμενοι ἐπέεσσιν,
Παύρους μνηστῆρας κατερύκετε πολλοὶ ἐόντες.
Τὸν δ' Εὐηνορίδης Λειώκριτος ἀντίον ηὔδα.
Μέντορ ἀταρτηρὲ, φρένας ἠλεὲ, ποῖον ἔειπες;
Ἡμέας ὀτρύνων καταπαυέμεν, ἀργαλέον δὲ
Ἀνδράσι καὶ πλεόνεσσι μαχήσασθαι περὶ δαιτί,
Εἴπερ γάρ κ' Ὀδυσσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
Δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
Ἐξελάσαι μεγάροιο μενοινήσει ἐνὶ θυμῷ,
Οὔκεν οἱ κεχάροιτο γυνὴ μάλα περ χατέουσα
Ἐλθόντ', ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
Εἰ πλεόνεσσι μάχοιτο, σὺ δ' οὐ κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγε, λαοὶ μὲν σκίδνασθ' ἐπὶ ἔργα ἕκαστος,
Τούτῳ δ' ὀτρυνέει Μέντωρ ὁδὸν, ἠδ' Ἁλιθέρσης.
Οἵτε οἱ ἐξ ἀρχῆς, πατρώϊοί εἰσιν ἑταῖροι,
Ἀλλ' οἴω καὶ δηθὰ καθήμενος ἀγγελιάων
Πεύσεται εἰν Ἰθάκῃ, τελέει δ' ὁδὸν οὔποτε ταύτην.
Ὣς ἄρ' ἐφώνησεν, λύσατο δ' ἀγορὴν αἰψηρὴν,
Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὰ πρὸς δώμαθ' ἕκαστος,
Μνηστῆρες δ' ἐς δώματ' ἴσαν θείου Ὀδυσῆος,
Τηλέμαχος δ' ἀπάνευθεν ἰὼν ἐπὶ θῖνα θαλάσσης,
Χεῖρας νιψάμενος πολιῆς ἁλὸς, εὔχετ' Ἀθήνῃ.
Κλῦθί μοι ὃς χθιζὸς θεὸς ἤλυθες ἡμέτερον δῶ,
Καί μ' ἐν νηῒ κέλευσας ἐπ' ἠεροειδέα πόντον,
Νόστον πευσόμενον πατρὸς δὴν οἰχομένοιο
Ἔρχεσθαι, τὰ δὲ πάντα διατρίβουσιν Ἀχαιοὶ,
Μνηστῆρες δὲ μάλιστα κακῶς ὑπερηνορέοντες.
Ὣς ἔφατ' εὐχόμενος, σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη
Μέντορι εἰδομένη, ἠμὲν δέμας, ἠδὲ καὶ αὐδὴν,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα,
Τηλέμαχ' οὐδ' ὄπιθεν κακὸς ἔσσεαι, οὐδ' ἀνοήμων,
Εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
Οἷος ἐκεῖνος ἔην, τελέσαι ἔργον τε ἔπος τε,
Οὔ τοι ἔπειθ' ἁλίη ὁδὸς ἔσσεται, οὐδ' ἀτέλεστος,
Εἰ δ' οὐ κείνου γ' ἐσσὶ γόνος καὶ Πηνελοπείης,

Οὐ σέ γ'

ὁρῶν τοὺς μνηστῆρας ἀπηρυθριακότας, οὐ πρὸς αὐτοὺς ἀποτείνεται. ἀλλὰ πρὸς τὸ κοινόν. οὐδέν τι δικαιολογικὸν ἔχει ἡ δημηγορία. καταφορικὴ δὲ, καὶ ἀγαθῷ ἐπιτρόπῳ πρέπουσα. αἴσυλα ῥέζει. ἄδικα ποιεῖ. οἱονεὶ αἰσόσυλα. τοῦ καθήκοντος σεσυλημένα. Ὀδυσσῆος θείοιο. οἱ μνηστῆρες μέμνηνται τοῦ Ὀδυσσέως. οὐχ ὡς θείου μέν τοι. ἀλλ' ὡς γυναῖκα εὐειδῆ ἔχοντος καὶ ἀφνειοῦ. κακοῤῥαφίῃσι. κακοσυνθεσίαις. κακοβουλίαις. παρθέμενοι κεφαλάς.] προτείναντες ὡς ἐπὶ ξείνῳ. ἤγουν ἐπικόπῳ ὥστε κοπῆναι. παρθέμενοι.] ἐνέχυρον θέμενοι. ἀντὶ τοῦ, ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν κεφαλάς. ἀλλὰ παρατιθέμενοι αὐτάς. ἧσθ' ἄνεω.] κάθησθε ἄφωνοι. ἄναυδοι. οὔτι καθαπτόμενοι ἐπέεσσιν.] αἰσχύνει τοὺς Ἰθακησίους. εἰ μὴ δὲ λόγοις ἅπτονται τῶν βιαίων μνηστήρων, τὸ γὰρ χερσὶ δυσχερέστερον. Λειώκριτος.] οἷον ἔκκριτος τοῦ λαοῦ. ὁ Ποιητὴς τὸν μὲν Ἀντίνοον ἁπλούστερον ἐποίησε δημηγοροῦντα. καὶ ἀφελέστερον. τὸν δὲ Εὐρύμαχον, ἐμβριθέστερον καὶ ἁδρότερον. ἐνταῦθα δὲ Λειώκριτόν τινα μνηστῆρα βραχύλογον μὲν [illegible] θρασύτερον δὲ, ὃς οὐ μόνον τὸν Ὀδυσσέα ἐξευτελίσει. ἀλλὰ καὶ τὴν ἀγορὰν ταχὺ λύσει. ὥστε ταύτην τὴν ἀγορὰν θέμις μὲν ἐκάθισεν. ἀθεμίστου δὲ ἀνδρὸς ὕβρις ἔλυσε. περὶ δαιτί.] οἱ γὰρ ἐν δαιτὶ οἴονται ἀνυπόστατοι εἶναι τὴν ἀλκὴν τοῦ οἴνου στρατηγοῦντος αὐτοῖς. λέγει δὲ ὅτι ἀργαλέον τοῖς Ἰθακησίοις, καὶ πλέονας ὄντας ἀντικαταστῆναι δαινυμένοις τοῖς μνηστῆρσιν. ὅπερ ἐστὶ κύριον τοῦ ἀδυνάτου. οὔκεν οἱ κεχάροιτο γυνή.] ἅμα γὰρ ἰδοῦσα στερήσεται. λύσατο δ' ἀγορήν.] αἰψηρὴν ὡς ἀπὸ δεσμοῦ τινός. αἰψηρήν. ἀντὶ τοῦ αἰψηρῶς. ὡς τό, τότε μοι χάνοι εὐρεῖα χθών. ἀντὶ τοῦ εὐρύ. κλῦθί μευ.] ὁ μὲν Τηλέμαχος, ἁπλῶς θεὸν ἐπικαλεῖται. ἀγνοεῖ γὰρ τίς ἦν θεῶν ὁ φανεὶς αὐτῷ. ὁ δὲ Ποιητὴς εὔχετ' Ἀθήνῃ φησί. ἠεροειδέα. μέλανα. δίκην ἀέρος ἢ βαθύν. Τηλέμαχε.] πρὸς παῖδα εὖ γεγονότα. τὸ οὐδ' ὄπιθεν προτρεπτικῶς. ὡς περὶ τὴν ἐκκλησίαν ἐμφρόνως διατεθειμένου. οὐ δὲ ὕστερον κακὸς ἔσῃ. οὐ δὲ ἄφρων εἰ Ὀδυσσέως παῖς τυγχάνεις. καὶ τῆς πατρῴας σπορᾶς ἔχεις τι σύμβολον. ἐνέστακται.] ἔοικεν ἠρτῆσθαι τῆς ἀρχικῆς σπερματικῆς τοῦ εἶναι δυνάμεως. οὔτοι ἔπειθ' ἁλίη.] ἄλλα ἁλίη. ὡς διὰ θαλάσσης πλέοντι. οὐδ' ἀτέλεστος.] εἰ πατρώζεις ἀγαθὸς ἔσῃ.

Οὔ σέ γ' ἔπειτα ἔολπα τελευτήσειν ἃ μενοινᾷς,
Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
Οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
Ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι, οὐδ' ἀνοήμων,
Οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
Ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.
Τῶ νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
Ἀφραδέων, ἐπεὶ οὔτι νοήμονες οὐδὲ δίκαιοι,
Οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
Ὃς δή σφιν σχεδόν ἐστιν, ἐπ' ἤματι πάντας ὀλέσθαι.
Σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἣν σὺ μενοινᾷς,
Τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι,
Ὅς τοι νῆα θοὴν στελέω, καὶ ἅμ' ἕψομαι αὐτός.
Ἀλλὰ σὺ μὲν πρὸς δώματ' ἰὼν, μνηστῆρσιν ὁμίλει,
Ὅπλισόν τ' ἤϊα καὶ ἄγγεσιν ἄρσον ἅπαντα
Οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα μυελὸν ἀνδρῶν,
Δέρμασιν ἐν πυκινοῖσιν, ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
Αἶψ' ἐθελοντῆρας συλλέξομαι, εἰσὶ δὲ νῆες
Πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέαι, ἠδὲ παλαιαί.
Τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥτις ἀρίστη,
Ὦκα δ' ἐφοπλίσσαντες ἐνήσομεν εὐρέϊ πόντῳ.
  Ὣς φάτ' Ἀθηναίη κούρη Διός, οὐδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος παρέμιμνεν, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν,
Βῆ δ' ἰέναι πρὸς δῶμα, φίλον τετιημένος ἦτορ.
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισιν
Αἶγας ἀνιεμένους, σιάλους θ' εὕοντας ἐν αὐλῇ,
Ἀντίνοος δ' ἰθὺς γελάσας κίε Τηλεμάχοιο,
Ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
Ἐν στήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε
Ἀλλὰ μάλ' ἐσθιέμεν, καὶ πινέμεν ὡς τὸ πάρος περ,
Ταῦτα δέ τι μάλα πάντα τελευτήσουσιν Ἀχαιοί,
Νῆα, καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
Ἐς Πύλον ἠγαθέην, μετ' ἀγαυοῦ πατρὸς ἀκουήν
  Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀντίνο', οὔπως ἐστὶν ὑπερφιάλοισι μεθ' ὑμῖν,
Δαίνυσθαί τ' ἀέκοντα, καὶ εὐφραίνεσθαι ἕκηλον,
Ἦ οὐχ' ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
Κτήματ' ἐμὰ μνηστῆρες. ἐγὼ δ' ἔτι νήπιος ἦα,
Νῦν δ' ὅτε δὴ μέγας εἰμί, καὶ ἄλλων μῦθον ἀκούων,
Πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός,

ἐστι. καὶ οὐ μάτην ὁδεύσεις. ἀλλὰ μὴν πατρώζεις ὡς ἡ δημηγορίας οὐ ἔδειξεν· ἔστιν ἄρα ἐπὶ σοὶ ἀγαθὴ ἐλπίς. ὁ δὲ ποιητὴς τῷ χωρίῳ ἐπιβάλλει καὶ γνωμικὸν σεμνότατον, ἐν ᾧ περὶ διαθέσεως παίδων φιλοσοφεῖ. καὶ Ὀδυσσέως ἔπαινον. παῦροι γάρ τοι παῖδες.] τὸ αἴτιον τοῦ διστασμοῦ. πατρὸς ἀρείους.] ὁποῖος Ἡρακλῆς πρὸς Ἀμφιτρύωνα. Ἀχιλλεὺς. Ἕκτωρ. οὔτι νοήμονες οὐδὲ δίκαιοι.] δογματίζει Ὅμηρος, ὅτι ὁ ἄδικος, καὶ ἀσύνετός ἐστιν. οὐδέ τι ἴσασι.] διασαφεῖ τὸ νοήμον. ὃς δή σφιν σχεδόν.] ἀναφώνησις περὶ μνηστήρων πάνυ γοργή. ὅπλισόν τ' ἤϊα.] ἑτοίμασον τὰ ἐφόδια. οἱ παλαιοί φασιν, ὅτι ἤϊα κυρίως αἱ ὀσπρέων καλάμαι. καὶ δισυλλάβως ἐν συναιρέσει, ἦα. ὡς Φερεκράτης. τὴν γαστέρ' ἤων κἀχύρων σεσαγμένους. Ὅμηρος δὲ τὰ ἁπλῶς βρώματα. δηλοῖ δὲ καὶ τὸν εἰς ναῦν ἐπισιτισμόν. ἄρσον ἅπαντα.] γέμισον. ἐκ τοῦ παρακολουθοῦντος. ἥρμοσται γὰρ τὸ πληροῦν τῷ πληρουμένῳ. ἄλφιτα μυελόν.] ἄλευρα μυελοποιά. θρεπτικά. ἀμφιφορεῦσι.] κεραμεοὶ ἦσαν ἀμφοτέρωθεν φερόμενοι. ὅ ἐστιν ἄμφωτοι. δίωτοι. ὡς ἀμφίδυλος ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος. ἐν πυκινοῖσιν.] ἐν στερεοῖς. ἐθελοντῆρας.] ἐθελοντάς. αἶγας ἀνιεμένους.] ἐκφραστικὸν γοργὸν δαπάνης τῶν μνηστήρων. ἀνιεμένους.] ἐκδέροντας. ἀπὸ τοῦ συμβαίνοντος. ἐκ τῶν κάτω γὰρ τὰ ἄνω ἵενται οἱ τοιοῦτοι. σιάλους.] σιτευτούς. χοίρους. εὕοντας.] ἐντεῦθεν τὸ σταθεύειν ἔνθα καὶ σταθευτός. εὕειν τὸ μαδᾶν ὕδατι ζέοντι. ὅθεν εὕστρα ἐργαστήριον, ἐν ᾧ χοῖροι εὕονται ἢ κατὰ Παυσανίαν, τὸ ἐκ σταχύων καυθέντων ἔδεσμα τοὺς ἀνθερίκας ἀποβαλλόντων. ἤτοι ὁ περικεκαυμένος στάχυς. Ἀντίνοος δ' ἰθὺς γελάσας.] ἱλαρότερον νῦν ποιεῖ τὸν Ἀντίνοον κατὰ τὴν ἀγοράν. μήτε τι ἄλλο ἐν στήθεσι. ταῦτα θυμοῦ ἀποτρέπουσι. τρυφᾶν δὲ παρακελεύουσι. ὡς τὸ πάτρος περ.] ἐπικερτομεῖ τῷ μείρακι, ὡς μέχρι μὲν ἄρτι ἀστενομένῳ, νῦν δὲ ἐξαίφνης ἐκ τοῦ σχολάζειν γαστρὶ πειθομένῳ μεταβάλλεσθαι. ταῦτα δέ τοι.] λόγος εἰρωνικῶς ἀποτελευτᾷ εἰς φήμην. οὕτω γὰρ ἀληθῶς ἀπέβη. πολλὰ καὶ ἐσθλά.] πόσῳ καὶ ποίῳ ἐπήυξηται τὸ κακόν. μέγας εἰμί.] ἀφελῶς εἴρηται. καὶ ἄλλων μῦθον ἀκούων. διδακτικὴ ἄρα ἡ φρόνησις. πυνθάνομαι.] ἀντὶ τοῦ πυνθανόμενος ἀκούω. ἀέξεται ἔνδοθι θυμός.] αὐξανομένῳ γὰρ τῷ σώματι, συναυξάνονται καὶ τῆς λογικῆς ψυχῆς αἱ δυνάμεις κατὰ Γαληνόν. καὶ Ἡρόδοτος. αὐξανομένῳ γὰρ τῷ σώματι, συναυξάνονται καὶ αἱ φρένες. τινὲς ἐπὶ ὀργῆς ἤγουν ἔμαθον ἤδη θυμοῦσθαι. καὶ μὴν διὰ τέλος ἀόργητος εἶναι. αὐξηθέντος τῇ δυνάμει εἰς τὸ κατ' ἐνέργειαν. ὁ δὲ Σαρδανάπαλος θυμὸν ἀέξειν, τὸ πρὸς ἐπιθυμίαν ζῆν.

κακὰς ἐπὶ κῆρας ἰήλω.] ἐπιπέμψω. θυμοῦ προβολὴ ὁ λόγος οὗτος τῷ Τηλεμάχῳ. πλευσεῖται μὲν γὰρ εἰς Πύλον. οὐ πειράσεται δέ τι τοιοῦτον. ἔμπορος.] ἔμπορον ὁ Ποιητὴς τὸν ἀλλοτρίας νεὼς ἐπιβαίνοντα λέγει. τὸν παρὰ τοῖς ὕστερον ἐπιβάτην. ὡς ἐμπόρου παρ' αὐτοῖς λεγομένου τοῦ μεταβολέως καὶ πραγματευτοῦ. καὶ μάλιστα τοῦ διὰ θαλάσσης πορεύοντος. καὶ ὅτι Ἀττικοὶ τοὺς ἐν ταῖς τριήρεσι κωπηλάτας ἐπικώπους λέγουσιν, ἐπιβάτας δὲ τοὺς μαχητάς. ἐπήβολος.] ἐπιτυχὴς, ἐγκρατής. ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν. ὅ ἐστι τοῦ σκοποῦ τυγχάνειν. ὅθεν καὶ τὸ, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι ἀντὶ τοῦ ἐπιτυχῶς λάμβανε. καὶ ἡ βουλὴ δὲ οἷον βολή τις ἐστίν, ὅθεν ἔφη, ἐῇ δ' ἥλω βουλῇ Πριάμοιο πόλις. ὡς εἰ ἔλεγε τοῖς ὅπλοις. καὶ τοῖς σοῖς τόξοις καὶ βέλεσι λύοις ἐντεῦθεν. καὶ τὸ, ἡ δὲ φρεσὶν ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ. ἔστι γὰρ ἀπὸ τῶν πόρρωθεν ἐπιβολὴν ποιουμένων, ὥστε τυχεῖν τοῦ φρονεῖν. οὕτω δὲ τῇ λέξει καὶ οἱ μεθ' Ὅμηρον κέχρηνται. ὥς νύ περ ὔμμιν ἐέσατο.] τοῦτο ἡμῖν ὠφελιμώτερον εἶναι ἐφαίνετο. τὸ ἐμὲ μὴ ἔχειν ἰδίαν ναῦν, ἀλλ' ἔμπορον ἀποπλεῖν. οἱονεὶ λέγει. ἀντὶ ναυκλήρου ἐπιβάτης διὰ ὑμᾶς γέγονα. τοὺς τὰ ἐμὰ καταναλώσαντας ἅπαντα κτήματα. καὶ ἐκ χειρός.] ἢ διὰ τὸ μὴ ἐπιβούλως ἅψεται τῆς χειρός. ἢ ὅτι γελῶν ἥψατο ὁ Ἀντίνοος.

ἐπελώβευον.] λώβη ἡ ἐν τῷ κοινῷ ὕβρις, οἱονεὶ λάσβη, ἡ ἐν τῷ λαῷ ἐπεμβαίνουσα τινί. ὧδε δέ τις εἴπεσκεν.] μερίζει τοὺς μνηστῆρας. ὧν οἱ μὲν δεδίασιν. οἱ δὲ θαῤῥαλεώτερον διάκεινται.

εἰς Ἐφύρην.] τὴν Θεσπρωτίαν, ἣ Νέκυρον μετωνομάσθη. θυμοφθόρα.] φθαρτικὰ λογισμοῦ καὶ ἀναιρετικὰ κατὰ τοὺς παλαιούς. ὀφέλλειεν πόνον.] αὐξήσειε πρώτου ἀορίστου ὡς τύψειε. τίς δὲ ὁ πόνος λέγει. κτήματα γάρ κε εἰρωνικῶς. τινὲς τὴν περὶ τὸν γάμον σπουδήν. ὁ ὑψόροφον.] ὑψηλόν. διὰ τὸ ἀνεπιβούλευτον. θάλαμον.] τὸ ταμεῖον. εὐρύν.] διὰ τὸν βαθὺν πλοῦτον τοῦ Ὀδυσσέως. νητός.] σεσωρευμένος.

χρυσὸς καὶ χαλκὸς ἔκειτο.] οἰκονομικὴ μέθοδος διδάσκοντος τοῦ Ποιητοῦ τοὺς οἰκοδεσπότας κειμήλια ἔχειν εἰς χρῆσιν τὴν ἐν καιρῷ. ἐν χηλοῖσι.] χηλὸς, λάρναξ, κιβωτὸς, σορός. εὐῶδες ἔλαιον.] ἴσως μὲν τῆς ἐλαίας. εἰκὸς δὲ καὶ ἐσκευάσθαι τιμιώτερον, οἷον τὸ ἴρινον σαμψύχινον. ποτὶ τοῖχον

Πειρήσω ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω,
Ἠὲ Πύλονδ' ἐλθὼν, ἢ αὐτοῦ τῷδ' ἐνὶ δήμῳ.
Εἶμι μὲν, οὐδ' ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω
Ἔμπορος· οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων
Γίνομαι, ὥς νύ περ ὔμμιν ἐείσατο κέρδιον εἶναι.
Ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσατ' Ἀντινόοιο
Ῥεῖα· μνηστῆρες δὲ δόμον κάτα δαῖτα πένοντο,
Οἱ δ' ἐπελώβευον, καὶ ἐκερτόμεον ἐπέεσσιν,
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων,
Ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει.
Ἤ τινας ἐκ Πύλου ἄξει ἀμύντορας ἠμαθόεντος.
Ἢ ὅγε καὶ Σπάρτηθεν, ἐπεὶ νύ περ ἵεται αἰνῶς.
Ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει πίειραν ἄρουραν
Ἐλθεῖν, ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ,
Ἐν δὲ βάλῃ κρητῆρι, καὶ ἡμέας πάντας ὀλέσσῃ.
Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων,
Τίς δ' οἶδ', εἴ κε καὶ αὐτὸς ἰὼν κοίλης ἐπὶ νηὸς
Τῆλε φίλων ἀπόληται, ἀλώμενος ὥσπερ Ὀδυσσεύς;
Οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον ἄμμι,
Κτήματα γάρ κε πάντα δασαίμεθα, οἰκία δ' αὖτε
Τούτου μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅς τις ὀπυίοι.
Ὣς φάτ', ὁ δ' ὑψόροφον θάλαμον κατεβήσετο πατρὸς
Εὐρὺν, ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς ἔκειτο.
Ἐσθής τ' ἐν χηλοῖσιν ἅλις τ' εὐῶδες ἔλαιον,
Ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο
Ἕστασαν, ἄκρητον θεῖον ποτὸν ἐντὸς ἔχοντες
Ἑξείης ποτὶ τοῖχον ἀρηρότες, εἴ ποτ' Ὀδυσσεὺς
Οἴκαδε νοστήσειε, καὶ ἄλγεα πολλὰ μογήσας,
Κληϊσταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι,
Δικλίδες, ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ
Ἔσκε, ἣ πάντ' ἐφύλασσε νόου πολυϊδρείῃσιν,
Εὐρύκλει' Ὦπος θυγάτηρ Πεισηνορίδαο,
Τὴν τότε Τηλέμαχος προσέφη θάλαμόνδε καλέσσας.
Μαῖ', ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον
Ἡδὺν, ὅτις μετὰ τὸν λαρώτερος, ὃν σὺ φυλάσσεις,
Κεῖνον ὀιομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
Διογενὴς Ὀδυσσεὺς, θάνατον καὶ κῆρας ἀλύξας,
Δώδεκα δ' ἔμπλησον, καὶ πώμασιν ἄρσον ἅπαντας,
Ἐν δέ μοι

ἀρηρότες.] ἵνα τὸ μέσον τοῦ θαλάμου εἴη ἄλλως χρήσιμον. σανίδες.] αἱ θύραι. δικλίδες.] διχόθεν κειμέναι, δίθυροι. νόου πολυϊδρείῃσιν.] περίφρασις τῆς κεδνῆς. ἐν ἀμφιφορεῦσιν ἄφυσσον.] ἐκ πίθου ἀπαύτλησον εἰς ἀμφιφορεῖς. λαρώτερος.] ἡδύτερος. ὅμοιον τῷ, Τηλέμαχ' ὅτοι σεῖο κακοξεινώτερος ἄλλος. χρηστὸν ἦθος ὑποφαίνει. οὐ γὰρ τὸν κάλλιστον. ἀλλὰ τὸν μετ' ἐκεῖνον ἡδύτερον αἰτεῖ, τὸν πρωτεύοντα τῷ πατρὶ φυλάσσει. κεῖνον ὀιομένη.] νομίζουσα, ἐλπίζουσα. πώμασιν ἄρσον.] πώμασι ἐπίθες.

ῥύῤῥαφέεσσιν.]

Ἐν δέ μοι ἄλφιτα χεῦσον ἐϋῤῥαφέεσσι δοροῖσιν,
Εἴκοσι δ' ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς,
Αὐτὴ δ' οἴη ἴσθι, τὰ δ' ἀθρόα πάντα τετύχθω.
Ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁπότε κεν δὴ
Μήτηρ εἰς ὑπερῷ' ἀναβῇ, κοίτου τε μέδηται,
Εἶμι γὰρ ἐς Σπάρτην, καὶ ἐς Πύλον ἠμαθόεντα,
Νόστον πευσόμενος πατρὸς φίλου ἤν που ἀκούσω.
Ὣς φάτο, κώκυσεν δὲ φίλη τροφὸς Εὐρύκλεια,
Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα,
Τίπτε δέ τοι φίλε τέκνον ἐνὶ φρεσὶ τοῦτο νόημα
Ἔπλετο, πῆ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν,
Μοῦνος ἐὼν ἀγαπητός, ὁ δ' ὤλετο τηλόθι πάτρης
Διογενὴς Ὀδυσεύς, ἀλλογνώτῳ ἐνὶ δήμῳ.
Οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσονται ὀπίσω,
Ὥς κε δόλῳ φθίῃς, τάδε δ' αὐτοὶ πάντα δάσωνται,
Ἀλλὰ μέν' αὖθ' ἐπὶ σοῖσι καθήμενος, οὐδέ τί σε χρὴ
Πόντον ἐπ' ἀτρύγετον κακὰ πάσχειν, οὐδ' ἀλάλησθαι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Θάρσει μαῖ', ἐπεὶ οὔτι ἄνευ θεοῦ ἥδε γε βουλή.
Ἀλλ' ὄμοσον μὴ μητρὶ φίλῃ τάδε μυθήσασθαι,
Πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,
Ἢ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
Ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ.
Ὣς ἄρ' ἔφη, γρηῦς δὲ θεῶν μέγαν ὅρκον ἀπώμνυ,
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
Αὐτίκ' ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσεν,
Ἐν δέ οἱ ἄλφιτα χεῦεν ἐϋῤῥαφέεσσι δοροῖσιν,
Τηλέμαχος δ' ἐς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Τηλεμάχῳ δ' εἰκυῖα κατὰ πτόλιν ᾤχετο πάντῃ,
Καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον,
Ἑσπερίους δ' ἐπὶ νῆα θοὴν ἀγερέσθαι ἀνώγει,
Ἡ δ' αὖτε Φρονίοιο Νοήμονα φαίδιμον υἱὸν
Ἤτεε νῆα θοήν, ὁ δέ οἱ πρόφρων ὑπέδεκτο.
Δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί,
Καὶ τότε νῆα θοὴν ἅλαδ' εἴρυσε, πάντα δ' ἐν αὐτῇ
Ὅπλ' ἐτίθει, τά τε νῆες ἐΰσελμοι φορέουσιν,
Στῆσε δ' ἐπ' ἐσχατιῆς λιμένος, περὶ δ' ἐσθλοὶ ἑταῖροι
Ἀθρόοι ἠγερέθοντο, θεὰ δ' ὤτρυνεν ἕκαστον,
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Βῆ δ' ἴμεναι πρὸς δώματ' Ὀδυσσῆος θείοιο
Ἔνθα μνηστήρεσσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευεν.
Πλάζε δὲ πίνοντας, χειρῶν δ' ἔκβαλλε κύπελλα.
Οἱ δ' εὕδειν ὄρνυντο κατὰ πτόλιν, οὐδ' ἄρ' ἔτι δὴν
Εἵατ' ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν,
Αὐτὰρ Τηλέμαχον προσέφη γλαυκῶπις Ἀθήνη.

Ἐκπροκα

ἐϋῤῥαφέεσσιν.] εὐράπτοις. δοροῖσι.] κωρύκοις· παρὰ τὸ χωρεῖν, θυλάκοις, φασκωλίοις. ἐχρῶντο γὰρ οἱ παλαιοὶ δέρμασιν ἀντὶ σάκκων εἰς ἀλφίτων φυλακήν. ἵνα μηδὲν ἐκεῖθεν διαφορῆται, στεγούσης διὰ πυκνότητος. εἴκοσι δ' ἔστω μέτρα.] τὸ μέτρον ἐπί τε ξηρῶν ἐπί τε ὑγρῶν λέγεται. ὡς ἐν τοῖς Κύκλωπος. ἀκτῆς.] δωρεᾶς· ἢ τοῦ κλάσματος, παρὰ τὸ κλῶ· ἢ ἀκτῆ, ἤτοι συναγωγῆς τροφῆς. μυληφάτου.] διὰ ὑπὸ μύλης κεκομμένης. αἱρήσομαι.] λήψομαι. τίπτε δέ τοι φίλε τέκνον.] φίλε υἱέ. πυκνὰ καὶ γοργὰ προβάλλεται νοήματα ἡ τροφός. ἀλλογνώτῳ.] ἄλλοις, καὶ οὐχ ἡμῖν γινωσκομένῳ. ἢ ἄλλοις γνωστῷ. ἢ κατὰ γένος οἰκείῳ. ἦν γὰρ αὖ ἀλλογνώτῳ, κατὰ τὸ ἄγνωστον πάντεσσι. οἱ δέ τοι αὐτίκ' ἰόντι.] ἀναφώνησις, τοῦτο γὰρ καὶ γέγονε. ἀλλὰ μὲν αὖθι.] τὸ αὐτὸ νόημα καὶ πρὸς τοῦ Ἀντινόου ἐλέχθη. δυσμενῶς μέντοι. γένηται.] ἔλθῃ ἡμέρα. ἢ αὐτὴν ποθέσαι.] ἔλθῃ πρὶν αὐτὴν ποθέσαι. ὁ δὲ ἀσυνήθως ἐσχημάτισε. διὰ τὴν τοῦ πρὶν ἐπιρρήματος δύναμιν. ἰάπτῃ.] διαφθείρῃ. παρὰ τὸ ἰόν, ὅθεν, καὶ τὸ ἀΐδι προϊάψειν. ἀπώμνυ.] ἀποφατικῶς. τὸ ἐναντίον τὸ ἐπώμνυ.

ὄμοσέν τε.] ὀμόσαι μὲν τὸ εἰπεῖν θεόν τι ὄνομα, οἷον νὴ τὸν Ἑρμῆν, μὰ τὰς Ἐλευσινίας θεάς. τελεύτησέ τε τὸν ὅρκον.] τὸ ἀποδοῦναι τὸν ἔνορκον λόγον. οἷον ποιήσω τόδε. ἢ οὐ ποιήσω. Τηλεμάχῳ δ' εἰκυῖα.] αἰνίττεται ὡς ἕκαστος τῶν Ἰθακησίων τὴν τοῦ υἱοῦ δημηγορίαν ὡς νοῦν φέρων. καὶ τὸν τοῦ βασιλέως ἀνειδωλοποιούμενον παῖδα οἷον παρ' αὐτοῖς ἱστάμενον. καὶ κρίνων δίκαια ἐκεῖνον εἰπεῖν, καὶ αἰτήσασθαι, ἀμῦναι μὲν οὐ θαρροῦσι διὰ τὸ κινδυνῶδες τῆς ὥρας, ναῦν δὲ δοῦναι λογίζονται καὶ αὐτῶν τινας εἰς ἐρέτας προσεπιδοῦναι. Φρονίοιο Νοήμονα.] ἀστείως ὠνοματοποίηκεν. πάντως γὰρ ἐκεῖνος ναῦν ὑπέσχετο, ὁ μὴ κατὰ τοὺς μνηστῆρας ἀφραδὴς καὶ ἀνοήμων ὢν τοῖς μένεσιν.

πρόφρων.] ἐθελοντής. ὑπέδεκτο.] ὑπέσχετο. σκιόωντό τε πᾶσαι ἀγυιαί.] ἡ γὰρ νὺξ σκιὰ γῆς. ὅπλ' ἐτίθει.] τὴν σκευὴν διὰ νηός. ἐπ' ἐσχατιῆς.] αὐτὸ τὸ ἄκρον τοῦ λιμένος, μεθ' ὃ ἡ θάλασσα. ὕπνον ἔχευεν.] τὸ ὑγρὸν τοῦ ὕπνου δηλοῖ. πλάζε δὲ πίνοντας.] παρεπλάνα τοῦ ἐγρηγορέναι. χειρῶν δ' ἔκβαλλε κύπελλα.] ἀδυνατοῦσιν διὰ τὸν ὕπνον. ἐπὶ βλεφάροισιν

Ἐκπροκαλεσσαμένη μεγάρων εὖ ναιεταόντων,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
Τηλέμαχ', ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι
Εἵατ' ἐπήρετμοι, τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
Ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο.
Ὣς ἄρα φωνήσας ἡγήσατο Παλλὰς Ἀθήνη
Καρπαλίμως, ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Εὗρον ἔπειτ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους,
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Δεῦτε φίλοι ἤϊα φερώμεθα, πάντα γὰρ ἤδη
Ἀθρό' ἐνὶ μεγάρῳ· μήτηρ δ' ἐμὴ οὔτι πέπυσται,
Οὐδ' ἄλλαι δμωαί, μία δ' οἴη μῦθον ἄκουσεν.
Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο.
Οἱ δ' ἄμα πάντα φέροντες ἐϋσσέλμῳ ἐπὶ νηῒ
Κάτθεσαν, ὡς ἐκέλευσεν Ὀδυσσῆος φίλος υἱός.
Ἂν δ' ἄρα Τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' Ἀθήνη·
Νηῒ δ' ἐνὶ πρυμνῇ κατ' ἄρ' ἕζετο, ἄγχι δ' ἄρ' αὐτῆς
Ἕζετο Τηλέμαχος, τοὶ δὲ πρυμνήσι' ἔλυσαν,
Ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι κάθιζον,
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη
Ἀκραῆ ζέφυρον, κελάδοντ' ἐπὶ οἴνοπα πόντον.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Ὅπλων ἅπτεσθαι, τοὶ δ' ὀτρύνοντες ἄκουσαν,
Ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
Ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσιν,
Ἔπρησεν δ' ἄνεμος μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε, νηὸς ἰούσης,
Ἡ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον,
Δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν,
Στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο·
Λεῖβον δ' ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν,
Ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ,
Παννυχίη μέν ῥ' ἥγε, καὶ ἠῶ πεῖρε κέλευθον.

φάροισιν ἐπιπτεν.] βάρος ὕπνου δηλοῖ. ταχὺ τὰ βλέφαρα κλείοντος. ἐπήρετμοι.] ἐπίκωποι· ἕτοιμοι ἐρέσσειν. μετ' ἴχνια βαῖνε.] εὐσεβῆ πρέπει. δεῦτε φίλοι.] δημαγωγικῶς εὐκαίρως κολακεύει. μία δ' οἴη.] λεληθότως ἀπόρρητον αὐτοῖς ὑποτίθησι τὴν πρᾶξιν ἔσεσθαι. ἵνα μὴ καὶ αὐτοὶ ἐξείπωσι τισί. νηὸς βαῖνε.] ἐπὶ νηός. νηὶ δ' ἐνὶ πρύμνη.] ἀντὶ τῆς νεὼς πρύμνῃ. καὶ ἐν Ἰλιάδι. νηί δ' ἐνὶ πρύμνῃ ἔνθα βροτόεντα Δόλωνος. πρυμνήσια.] τὰ πείσματα. ἴκμενον.] ὑγρόν. παρὰ τὴν ἰκμάδα. ἢ τὸν φορὸν καὶ εἰς τὸ ἵκεσθαι ἐπιτήδειον. οἱονεὶ ἱκόμενον. ἴκμενον· δίυγρον, καὶ ἀλλαχοῦ. ἀνέμων μένος ὑγρὸν ἀέντων. ἢ τὸν ἱκνεῖσθαι καὶ φέρεσθαί ποι ἐῶντα. ἀκραῆ ζέφυρον.] ἐπιτήδειον ἄκρως πνέοντα πρὸς τὴν χρείαν. οὔτε πλέον οὔτ' ἔλαττον. ἢ τὸν μὴ κεκραμένον ἀλλ' ἀκριβῶς ζέφυρον. τινὲς εὐκραῆ. κελάδοντα.] ἐπίθετον τοῦ πόντου. ὅθεν καὶ οἱ παλαιοὶ ἐγκέλαδον ἵππον τῷ Ποσειδῶνι παραδιδόασιν. ἵει γλαυκῶπις Ἀθήνη.] ἡ κατὰ τοὺς ναύτας ἐμπειρία καὶ φρόνησις. ἣ χρησάμενοι ἔπλευσαν. ἔντοσθε μεσόδμης.] μεσόδμη ἡ ὀπή, δι' ἧς ὁ ἱστὸς ἐνείρεται· παρὰ τὸ ἐν μέσῳ τῆς νηὸς δεδομῆσθαι. προτόνοισ.] σχοινίοις, δι' ὧν ὁ ἱστὸς ἀποδεσμεῖται. ὡς ἂν ἔχῃ βεβαίως ἱστάμενος. οὓς καὶ παλαιοὶ κάλωας. ἀπὸ τοῦ καρχησίου εἰς πρῷραν καὶ πρύμναν διατείνοντας. ἐϋστρέπτοισι.] εὐμαλάκτοις εὐκλώστοις. βοεῦσι.] χρήσεως ἀρχαίας ἐστί, καθ' ἣν καὶ νῦν οἱ περί που τοὺς ταύρους ἀρκτικοί, φωκῶν δέρμασι, καὶ ἄλλοις τισὶ τοιούτοις, τὴν τῶν σχοινίων χρείαν ἀποπληροῦσι. βοέας καὶ βοῦς. λέγει τοὺς ἐκ βοείων ἱμάντας κάλωας. ἔπρησε δ' ἄνεμος.] ἐφύσησεν. ὅθεν καὶ πρηστήρ. στείρῃ.] ἡ τρόπις. ἴαχεν.] ἤχησεν. ὀνοματοποιΐα. ἐπιστεφέας.] πλήρεις. μέχρι στεφάνης. παρὰ τὸ, κρητῆρας ἐπεστέψαντο. καὶ ἠῶ.] ἠῶ τὴν μεταξὺ νυκτός τε καὶ ἀνατολῆς ὥραν. ὤφειλε δὲ εἰπεῖν ἠῶ. πεῖρε.] διέπερα. ἔνθεν καὶ τὸ ἀλιγείνατε κύματα πειρῶν.